ſed errare tantùm, eadémque ex ignorantia facere: nec minus tamen ex iuſtitia, & iniuſtitia quidpiam agit. Sed enim quando prudentia ſcientia eſt, & verum quidpiam idem faciet ea: liceat enim ſtudio à prudentia deſipere in iiſdem, quibus & ſtolidus. Verùm ſi ſimplex cuiuſque, quatenus quidque eſt, vſus fuerit, etiam ita agentes fecerint ſapienter. In cæteris igitur ſcientiis alia quædam princeps eſt, quæ alimenta miniſtrat. Et principis rurſum illius alia quædam, non tamen ſcientia, vel intellectus. Sed nec virtus, vt qua vtitur, quando temperantis virtus etiam ſubditi virtutem ſibi vſurpat. Quid igitur eſt, an vt intemperantia, vitium irrationalis animæ partis, & quonam pacto intemperans mente præditus fuerit. Verùm præualens euertit mentem, ratiocinatúrque contraria. Et ſi virtus quidem in illo, in ratione verò ignorantia reſideat, vbi reliquæ iam vendicantur. Sic etiam licet iuſtitia, iuſtè quoque, maléque & prudentia ſtultè abuti, vnde contraria eueniant. Abſurdum enim, ſi quòd in rationali parte vitium incidens, euerſa ratione ignorantiam inducat. Virtus autem inexiſtentem in ratione ſtultitiam non euertit hanc, rectúmque de rebus iudicium format. Rurſum autem, prudentia rationalem partem occupans, ex irrationali intemperantia ſublata, moderatas actiones efficit: id, quod continentiæ videtur proprium. Itaque licet ab ignorantia prudenter, aliterque à prudentia imprudenter rebus vti: quod in cæterarum nulla euenire cernimus. Velut cùm medicinam, & grammaticam nutrit intemperantia. Iniuſtus enim omnia, quæ & iuſtus poteſt, & in vniuerſum potentiæ ineſt impotentia. Quocirca ſimul prudentes, & bonæ eorum etiam cæteræ habitudines, & corpus firmum, quando nihil fortius prudentia eſt. Verùm quòd ſcientiam dixit, non rectè habet: virtus enim eſt, non ſcientia, & genus diuerſum.

CAPVT XIIII.

QVoniam verò non prudentia ſolùm ſucceſſum, virtutéſque efficit, ſed fortunatos etiam bene agere, tanquam fortuna ſecũda proſperos gignẽte ſucceſſus, affirmamus, quæ eadem etiam ſcientiæ ſint. Conſiderandum igitur, naturáne fortunatus, ac infortunatus ſit, an ſecus,

A οὔ τι ἀπὸ δικαιοσύνης γε ὡς ἀπὸ ἀδικίας πράξει· ἀλλ᾽ ἐπεὶ φρόνησις ἐπιστήμη, καὶ ἀληθές τι τὸ αὐτὸ ποιήσει κἀκείνη. ἐνδέχοιτο γὰρ ἂν ἀφρόνως ἀπὸ φρονήσεως, καὶ ἁμαρτάνειν ταὐτὰ ἅπερ ὁ ἄφρων. εἰ δὲ ἁπλοῦ ἡ ἑκάστου χρεία ᾗ ἕκαστον, κἂν φρονίμως ἔπραττον οὕτω πράττοντες. ἐπὶ μὲν οὖν ταῖς ἄλλαις ἐπιστήμαις, ἄλλη κυρία ποιεῖ τὴν στροφὴν αὐτῆς· B δὲ τῆς πασῶν κυρίας τίς; οὐ γὰρ ἔτι ἐπιστήμη γε ἢ νοῦς, ἀλλὰ μὴν οὐδὲ ἀρετή. χρῆται γὰρ αὐτῇ. ἡ γὰρ τοῦ ἄρχοντος ἀρετή, τῇ τοῦ ἀρχομένου χρῆται. τίς οὖν ἐστιν, ἢ ὥσπερ λέγεται ἀκρασία κακία τοῦ ἀλόγου τῆς ψυχῆς, καὶ πῶς ἀκόλαστος ὁ ἀκρατὴς ἔχων νοῦν. ἀλλ᾽ ἤδη ἂν ἰσχυρὰ ᾖ ἡ ἐπιθυμία, στρέψει καὶ λογιεῖται τἀναντία.

σοφι

C δηλονότι, κἂν μὲν ἐν τούτῳ ἀρετή, ἐν δὲ τῷ λόγῳ ἄνοια ᾖ, ἕτεραι μεταποιοῦνται. ὥστε ἔσται δικαιοσύνῃ καὶ δικαίως χρῆσθαι καὶ κακῶς, καὶ φρονήσει ἀφρόνως· ὥστε καὶ τἀναντία. ἄτοπον γάρ, εἰ τῆς μὲν ἐν τῷ λογιστικῷ ἀρετῆς μοχθηρία ποτὲ ἐγγινομένη μὲν τῷ λόγῳ στρέψει καὶ ποιήσει ἀγνοεῖν. ἡ δὲ ἀρετὴ ἐν τῷ λόγῳ ἀνοίας ἐνούσης, οὐ στρέψει ταύτην, καὶ ποιήσει φρονίμως κρίνειν καὶ τὰ δέοντα. D καὶ πάλιν ἡ φρόνησις ἡ ἐν τῷ λογιστικῷ, τὴν ἐν τῷ ἀλόγῳ κόλασιν ἂν σωφρόνως πράττειν· ὅπερ δοκεῖ ἡ ἐγκράτεια. ὥστ᾽ ἔσται καὶ ἡ ἀπὸ ἀγνοίας φρονίμως, ἐπί τε ταῦτα ἄτοπα, ἄλλως τε καὶ ἀπὸ ἀγνοίας χρῆσθαι φρονίμως. τοῦτο γὰρ ἐπὶ τῶν ἄλλων οὐδαμῶς ὁρῶμεν· ὥσπερ τὴν ἰατρικὴν ἢ γραμματικὴν στρέφει ἀκολασία. ἀλλ᾽ οὖν ὁ τὴν ἄγνοιαν, ἐὰν ᾖ ἐ- E ναντία, διὰ τὸ μὴ ἐνεῖναι τὴν ὑπεροχὴν ἀλλὰ τὴν ἀρετήν, ὅλως μᾶλλον εἶναι πρὸς τὴν κακίαν οὕτως ἔχουσαν. καὶ γὰρ ὁ ἄδικος πάντα ὁ δίκαιος δύναται, καὶ ὅλως ἔνεστιν ἐν τῇ δυνάμει ἡ ἀδυναμία. ὥστε δῆλον ὅτι ἅμα φρόνιμοι καὶ ἀγαθαὶ ἐκεῖναι αἱ ἄλλου ἕξεις, καὶ ὀρθῶς τὸ σῶμα κρατητικόν, ὅτι οὐδὲν ἰσχυρότερον φρονήσεως· ἀλλ᾽ ὅτι ἐπιστήμην ἔφη, οὐκ ὀρ- F θόν. ἀρετὴ γάρ ἐστι, καὶ οὐκ ἐπιστήμη, ἀλλὰ γένος ἄλλο γνώσ*

Κεφάλαιον ιδ´.

ΕΠεὶ δὲ οὐ μόνον ἡ φρόνησις ποιεῖ τὴν εὐπραγίαν καὶ ἀρετήν, ἀλλὰ φαμὲν καὶ τοὺς εὐτυχεῖς εὖ πράττειν, ὡς καὶ τῆς εὐτυχίας εὖ ποιούσης εὐπραγίαν, καὶ τὰ αὐτὰ τῆς ἐπιστήμης, σκεπτέον πότερόν ἐστι φύσει, ὁ μὲν εὐτυχής, ὁ δὲ ἀτυχής, ἢ οὔ,

καὶ πῶς